ἰατρὸς, ὅτι, ὦ Σώκρατες, ἐξαπατᾷ σε Γοργίας. οὐ γάρ ἐστιν e) ἡ τούτου τέχνη περὶ τὸ μέγιστον ἀγαθὸν τοῖς ἀνθρώποις, ἀλλ' ἡ ἐμή. εἰ οὖν αὐτὸν f) ἐγὼ ἐροίμην, Σὺ δὲ τίς ὢν ταῦτα λέγεις g); εἴποι ἂν ἴσως ὅτι ἰατρός. Τί οὖν λέγεις; ἢ τὸ τῆς σῆς τέχνης ἔργον μέγιστόν ἐστιν ἀγαθόν; Πῶς γὰρ οὔ, Φαίη ἂν ἴσως h), ὦ Σώκρατες, ὑγίεια; τί δ' ἐστὶ μεῖζον ἀγαθὸν ἀνθρώποις ὑγιείας; εἰ δ' αὖ μετὰ τοῦτον i) ὁ παιδοτρίβης εἴποι, ὅτι θαυμάζοιμί k) τ' ἂν, ὦ Σώκρατες, καὶ αὐτὸς, εἴ σοι ἔχοι Γοργίας μεῖζον ἀγαθὸν ἐπιδεῖξαι τῆς αὐτοῦ l) τέχνης, ἢ ἐγὼ τῆς ἐμῆς· εἴποιμ' ἂν αὖ καὶ πρὸς τοῦτον, Σὺ δὲ δὴ τίς εἶ, ὦ ἄνθρωπε; καὶ τί τὸ σὸν ἔργον; Παιδοτρίβης, Φαίη ἂν, τὸ δὲ ἔργον μου ἐστὶ, καλούς τε καὶ ἰσχυροὺς ποιεῖν τοὺς ἀνθρώπους τὰ σώματα. Μετὰ δὴ m) τὸν παιδοτρίβην εἴποι ἂν ὁ χρηματιστὴς, ὡς ἐγῷμαι, πάνυ καταφρονῶν ἁπάντων, Σκόπει δῆτα, ὦ Σώκρατες, ἐάν σοι



e) Bas. 2. ἐστι.

f) Cod. vterque ἐγὼ αὐτόν.

g) Dicta sunt pro τίς ταῦτα λέγων εἶ. vt Sect. 8. διαλέγεται βουλόμενος pro διαλεγόμενος βούλεται. Vid. ad Sect. 40. not. e.

h) H. e. *pariter, vt tu*. Vid. ad Sect. 36. not. n). Caeterum pro φαίη Cod. Aug. librarius vitiose scripserat φαίην, et ante pro ἢ Bas. 2. habet ὅτι.

i) Cod. Meerm. μετα τότον. Ficinus: *posthaec*. Legit μετὰ τοῦτο.

k) Particula τε hic redundat. Vid. Ind. in Τε, vt et de αὐτὸς, quod statim sequitur, in Αὐτός. Indicatiuum autem ἔχει sponte mutaui in ἔχοι, quia praecedunt Optatiui.

l) Cod. vterque, Ald. Bas. 1. 2. αὐτοῦ.

m) Cod. Meerm. δὲ.